δίδωσι, τὰς δ' ἐκ τῶν ἀνὰ χεῖρα πραγμάτων λαβεῖν ἔστι,
B πολλὰ μὲν εἰς φιλοσοφίαν παραδείγματα πολλὰ δ' εἰς
εὐσέβειαν ἐχούσας, ἀνδρικῶν τε πράξεων καὶ μεγαλοθύ-
μων ἐνίας δὲ χρηστῶν καὶ φιλανθρώπων ζῆλον ἐπαγού-
σας· αἷς ἤν τις ἀνυπόπτως χρώμενος διαπαιδαγωγῇ τοὺς
πίνοντας, οὐ τὰ ἐλάχιστα τῶν κακῶν ἀφαιρήσει τῆς μέ-
θης. οἱ μὲν οὖν τὰ βούγλωσσα καταμιγνύντες εἰς τὸν
οἶνον καὶ τοῖς ἀποβρέγμασι τῶν περιστερεώνων καὶ ἀδιάν-
των τὰ ἐδάφη ῥαίνοντες, ὡς τούτων τινὰ τοῖς ἑστιωμένοις
εὐθυμίαν καὶ φιλοφροσύνην ἐνδιδόντων, ἀπομιμούμενοι
τὴν Ὁμηρικὴν Ἑλένην (δ 220) ὑποφαρμάττουσαν τὸν
ἄκρατον, οὐ συνορῶσιν ὅτι κἀκεῖνος ὁ μῦθος ἐκπεριελθὼν
C ἀπ' Αἰγύπτου μακρὰν ὁδὸν εἰς λόγους ἐπιεικεῖς καὶ πρέ-
ποντας ἐτελεύτησεν· ἡ γὰρ Ἑλένη πίνουσιν αὐτοῖς διηγεῖ-
ται περὶ τοῦ Ὀδυσσέως (δ 242. 244), 'οἷον ἔρεξε καὶ ἔτλη
καρτερὸς ἀνήρ, αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσ-
σας·' τοῦτο γὰρ ἦν ὡς ἔοικε τὸ 'νηπενθὲς' (δ 221)
φάρμακον καὶ ἀνώδυνον, λόγος ἔχων καιρὸν ἁρμόζοντα
τοῖς ὑποκειμένοις πάθεσι καὶ πράγμασιν. οἱ δὲ χαρίεντες,
κἂν ἀπ' εὐθείας φιλοσοφῶσιν, τηνικαῦτα διὰ τοῦ πιθανοῦ
μᾶλλον ἢ βιαστικοῦ τῶν ἀποδείξεων ἄγουσι τὸν λόγον.
ὁρᾷς γὰρ ὅτι καὶ Πλάτων ἐν τῷ Συμποσίῳ περὶ τέλους
D διαλεγόμενος καὶ τοῦ πρώτου ἀγαθοῦ καὶ ὅλως θεολογῶν
οὐκ ἐντείνει τὴν ἀπόδειξιν οὐδ' ὑποκονίεται, τὴν λαβὴν
ὥσπερ εἴωθεν εὔτονον ποιῶν καὶ ἄφυκτον, ἀλλ' ὑγροτέ-
ροις λήμμασι καὶ παραδείγμασι καὶ μυθολογίαις προσ-
άγεται τοὺς ἄνδρας. (**5.**) εἶναι δὲ δεῖ καὶ αὐτὰς τὰς
ζητήσεις ὑγροτέρας καὶ γνώριμα τὰ προβλήματα καὶ τὰς
πεύσεις ἐπιεικεῖς καὶ μὴ γλίσχρας, ἵνα μὴ πνίγωσι τοὺς